αὐτῇ χαρίζονται. πολλάκις δὲ καὶ διεγείρει ἑαυτὴν ἐπὶ τὸ
αἰσχρὸν, καὶ πρὸς παραίνεσιν ἑαυτῆς χωρεῖ. καὶ ἄλλως
„ τὰ ἄτοπα ἑαυτῇ χαριζομένη καὶ βοῶσα. ψυχὴ, ἔχεις
„ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά. φάγε, πίε, εὐφραίνου.
καὶ εἰ μὲν αἱ τὰ ἄτοπα ἑαυταῖς παρέχουσαι ψυχαὶ ἕτεραι
ἦσαν, καὶ καθ' ἑαυτὰς ἦσαν, ἄλλων δὲ τὰ σώφρονα,
ἦν εἰπεῖν δύο γένη ψυχῶν. καὶ λέγοντας τοῦτο πάλιν
γελᾶν. καὶ δυσωπεῖν ἔδει τὴν ἄτοπον τῶν Μανιχαίων
δόξαν, ὅτι τὴν μανίαν εἰς δύο τέμνουσι καὶ διαιροῦσι, καὶ τὰ
ἑαυτοῖς μαχόμενα φθεγγόμενοι, καὶ μηδὲ τῆς ἀτόπου
αὐτῶν δόξης τὴν συμφωνίαν τηροῦντες. εἰ δὲ αἱ αὐταὶ
εἰσι, καὶ ἄρτι ἡ τὰ ἄτοπα ἑαυτῇ παραινέσασα παραι-
νέσειε ποτε ἑαυτῇ τὰ τίμια. καὶ ἡ ἄρτι πρὸς τὰ σε-
μνὰ ἑαυτὴν διεγείρουσα ποτὲ πρὸς τὰ αἰσχρὰ ἑαυτὴν
ἐκπέμψει. καὶ ἡ ποτὲ σεμνῶν ἀντιποιηθεῖσα, καὶ τιμήσα-
σα τὰ σεμνὰ, ποτὲ αὐτὰ ἀπολέλοιπεν αὐθαίρετος,
ἐκ τῆς μεταβολῆς ἐλεγχθήσεται. Δημᾶς οὖν μετὰ
παύλου, τιμῶν τὴν παύλου συνουσίαν ἡρέθη τῇ τοῦ
διαβόλου ἐπιθυμίᾳ, ἤφιει τὴν ἀποστολικὴν συνουσίαν
καὶ φυγὰς γενόμενος πρὸς τὴν τοῦ κόσμου δόξαν ἠπείγε-
„ το. Δημᾶς γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰ-
„ ῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην. ἠκολούθει ποτὲ
καὶ Γιεζὴ τῷ ἐλισσαίῳ, καὶ εἰς ὑπηρεσίαν ἐμετρεῖτο.
καὶ φανείσης εὐκαιρίας χρημάτων ἤφιει μὲν τὰ θεῖα.
χρήματα δὲ λαβὼν ἀντεπώλει τὴν οἰκείαν γνώμην
τῇ εὑρέσει τῶν χρημάτων. Ἰούδας ἐν ἀποστόλοις ὢν
ἐφόβησέ ποτε πυρετοὺς, ἐστρατηλάτησε κατὰ δαιμόνων,
„ εἷς ἦν τῶν λεγόντων. κύριε, ἰδοὺ καὶ τὰ δαιμόνια ἡ-
„ μῖν ὑποτάσσεται. καὶ ὁ μάστιγα κατὰ δαιμόνων κινή-
σας